www.tezaurliturgic.ro

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

ΤΟΥ ΘΕΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΠΑΠΑ - ΝΙΚΟΛΑ " ΤΟΥ ΠΛΑΝΑ "

ΕΠΙΤΕΛΟΥΜΕΝΗΣ ΤΗΣ ΜΝΗΜΗΣ ΑΥΤΟΥ τὴν 19ην Φεβρουαρίου

[redacted] τὴν ἡμέραν τῆς Ἁγ. Φιλοθέης.

107

www.tezaurliturgic.ro

Τοῦ 'Οσίου καί Θεοφόρου Πατρός ἡμῶν Παπᾶ-Νικόλα "τοῦ Πλα[illegible]
'Ακμάσαντος εἰς τάς πονηροτάτας ταύτας ἡμέρας τῆς πονηρίας καί ἀπι-στίας καί ἀπάτης. Πλήρης χάριτος ἀποδειχθείς καί Θαυμάτων ἐνέργει-ανπλουτίσας πολλήν, ποικιλοτρόπως ἐνήργη δι'αὐτοῦ ἡ Θεία Χάρις; ἰώ-μενος καί προλέγων ἑκάστω τῶν πιστευόντων πιστῶν τά αἰτήματα. 'Εκοι-μήθη δέ ἐν Κυρίω κατά τό ἔτος 1932 τήν 2αν Μαρτίου μέ πρέποντα ὁ-σίοις θάνατον, συρρεύσαντος πλῆθος λαοῦ εἰς τήν ἱερήν του κοίμησιν.-

ΑΚΟΛΟΥΘΙΑ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Στιχηρά Προσόμοια δ́ δευτεροῦντες τά 2

Ἦχος δ.́ 'Ως γενναῖον ἐν μάρτυσι.

Τήν ὁσίαν σου κοίμησιν, Θεοφόρε πατήρ ἡμῶν, συνελθόντες σήμερον ἑ-ορτάζομεν, χαρᾶς πολλῆς ἐμφορούμενοι, ἀξίως γάρ εὕρομεν σε προστά-την ἀληθῆ, 'Ιησοῦν τόν φιλάνθρωπον οὗ ἐβάστασας τόν σταυρόν καί τάς θείας ἐντολάς Του, μή ἐλλείπεις ἱκετεύων Θαυματοφόρε Νικόλαε.

Ταπεινώσεως σύμβολον καί εἰκών τῆς πραότητος, καρτερίας πῦργος τε ἐχρημάτησε, ὁ σός πανάρετος βίος νῦν, καιρῶν καλεπότητα διαλέγχων ἀψευδῶς, καί στηρίζων τούς μένοντας Θεία Χάριτι, πιστά, τέκνα τῆς μιᾶς 'Εκκλησίας καί ζητοῦντας σωτηρίαν πάτερ Θεόφρων Νικόλαε.

'Ιαμάτων χαρίσματα ἡ τοῦ Πνεύματος ἔλλαμψις, τήν ψυχήν σου ἔπλη-σε πάτερ τίμιε, καί ἐσομένων τήν ἔκβασιν, σαφῶς σύ προέλεγες ὡς παρόντα τά ἀπόν, καί συμπάθειαν ἄμετρον τοῖς πλησίον σου, πρός οὕς πάντα διέδιδες τοῦ βίου, ὑστερούμενος πολλάκις καί τήν τοῦ σώ-ματος σύστασιν.

'Ιερεύς Θεοπρόβλητος, Θεοφόρε Νικόλαε, ἀληθῶς γεγένησαι Θείας Χά-ριτος, σκεῦος ἁπλοῦν τε καί εὔχρηστον, πανέντιμον ἅπασι λειτουργοῦν καί ἐνεργοῦν, τά τῆς Χάριτος σύμβολα καί προστάγματα. Διό πάτερ

www.tezaurliturgic.ro



πραέων κληρονόμος, γῆς ἐδείχθης καί πρεσβεύεις ὑπέρ τῶν πίστει τιμόντων σε

Δόξα. Πλ. β΄.

Ἱεροσύνης τήν ἔμψυχον στήλην καί Χριστοῦ τό ἀπεικόνισμα πρόστητος καί ἀγάπης τήν ζῶσαν μαρτυρίαν, δεῦτε παντες οἱ φιλόχριστοι κατά χρέος ὑμνήσομεν. Οὗτος γάρ τῆς φωνῆς Κυρίου ἀκούσας, καί πᾶσαν ματαιότητα ὁλοψύχως διαπτήσας, δοῦλος Χριστοῦ ἀνεδείχθη γνήσιον. Τό γάρ αὐτοῦ ἁπλοῦν καί ἀκαίρεον, ἡ ζέουσα πίστις ἀνυψώσασα, τῆς ἀναιδοῦς φαντασίας τήν προπέτεια διήλεγξεν. Ὄργανον θείας Χάριτος διατελέσας, καί πληρώσας ὁσίως τόν αὐτῷ δοθέντα κλῆρον, σύν ἁγίοις νῦν ἀγάλλεται καί πρεσβεύει ὑπέρ τῶν πόθῳ τελούντων αὐτοῦ τά μνημόσυνα.

Καί νῦν. Τίς μή μακαρίσῃ σέ.

Φῶς ἱλαρόν. Τό προκείμενον τῆς ἡμέρας, καί ἀναγνώσματα ὁσιακά.-

------

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α΄.

Τήν ἑόρτιον μνήμην τοῦ θεοφόρου πρεσβυτέρου, συνελθόντες ὡς φιλέορτοι ἐν ἐγκωμίοις εὐφημήσωμεν. Οὗτος γάρ ὁ μακάριον οὐδόλως νυσταγμόν νοσήσας ραθυμίας, διήνυσε τόν βίον ἀόκνως, ψάλλων καί θύων Κυρίῳ, τήν ἀναίμακτον καί λογικήν θυσίαν. Πᾶσαν ὑλικήν μέριμνα ἀποστήσας, νυχθημερόν Κυρίῳ παρίστατο , ἐν ὁσιότητι καί δικαιοσύνη λατρεύων καί τούς πλησίον εὐεργετῶν καί ἰώμενος. Πνεύματος Ἁγίου, σκεῦος χρηματίσας, τῶν αὐτοῦ Χαρίτων γέγονεν ἔμπλεος καί μεταστάς ἐντεῦθεν, τοῖς χοροῖς τῶν ὁσίων ἠρίθμηται καί Χριστόν δωρῆται ἡμῖν πρεσβεύει τό μέγα ἔλεος.-

Πρᾶος καί ταπεινός τῇ καρδίᾳ, ὅσιος καί ἄκακος καί δικαιοσύνης πλήρης ἀνεδείχθης , Νικόλαε, πατήρ ἡμῶν Ὅσιε. Τήν ὑπερέχουσα πάντα νοῦν σοφίαν, μυστικῶς διδαχθείς, ὡς μωρός ἐν τῷ μωρῷ κόσμῳ ἐσχημάτισε .

www.tezaurliturgic.ro



Πάντα γάρ τύφον καί θέλημα ἀπό σοῦ ἀπομακρίνας, τοῖς πᾶσι γέγονας ποθητός καί τιμιος. Ἴδε γάρ καί πολέμιος ἀρετήν θαυμάζειν, καί τό γλυκύ καί γαληνίω σου τρόπω πάντας συμβιβάζων, υἱός εἰρήνης ἐπεφάνης ἄριστος. Τήν υἱοθεσίαν οὖν ἀπολαβών, τῶν τιμόντων σου την μνήμην, μή ἐπιλάθου Θεομακάριστε.-

Δόξα. Πλ. α΄.

Ὅσιε πάτερ Νικόλαε ἱερέ, τῆς συμπαθοῦς σου προνοίας, ἥν ἔτι ζῶν μεθ' ἡμῶν πλουσίως τοῖς ἀνθρώποις παρῆχες , καί ἡμῖν νῦν τοῖς ταπεινοῖς κατάπεμψον. Πρόφθασον ἡμᾶς πάτερ εὔσπλαχνε δεινοῖς ἀνιαροῖς, καί πολυτρόποις κακίαις ἐμπεσόντας, καί τῇ μεσιτεία, σου ἐξάρπασον. Πλᾶναι αἱρέσεις καί ἀπάται καί κολοῦ παντός ἡ σπάνις ἐπλεόνασαν καί οὐδείς ὁ συνιῶν. Πιστις γάρ ἐξέλειπε καί ψεῦδος κυριύει, ἠθῶν δε ἡ εὐπρέπεια εἰς τέλος ἠχρηιώθη. Ἰδον γάρ γεγόναμεν ὡς τό ἀπ'ἀρχῆς ὡς ὅτε Θεός ἐν ἡμῖν οὐ ἦρχε, καί θεός τά πάθη ἡμῶν ἐκράτησαν. Πρόφθασον οὖν πάτερ πρόφθασον, καί σῶσον ἡμᾶς τῇ πατρικῇ εὐμενία σου.

Καί νῦν. Μακαρίζομέν σε.

Εἰς τόν Στίχον Στιχηρά προσόμοια

Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Δικαιοσύνης τόν πλοῦτον πάτερ συνήγαγες, καί τήν λαμπάδα πλήσας φιλαπόνω σπουδῇ σου. Τετέλεκας τόν δρόμον τήν πίστιν τηρῶν δι'ἧς ὤφθης πανάριστος Χριστοῦ θεράπων καί γνήσιος λειτουργός ἀξιύμνητε Νικόλαε.

Ἱεροσύνης ποδήρη θείας ἐστόλησε καί κόσμος Ἐκκλησίας ἐχρημάτισας νέμων, τοῖς πᾶσι κατ ἀξίαν ὡς ἦν ἐφυκτόν, πατρικῶς διακείμενος τόν τῆς ἀγάπης κανόνα ὡς δυνατόν τοῖς ἀνθρώποις συνεπλήρωσας.

Ἀπό νεότητος ὤφθης Θεῷ ποθούμενος, διό καί ἀπεκρούσο τῶν ματαίων τήν πλάνην καί ἦρας τοῦ Κυρίου πιστῶς τόν σταυρόν καί τά θεῖα προστάγματα ἐμμελετῶν τῇ ψυχῇ σου δοῦλος πιστός ἐνεδείχθης πάτερ ὅσιε.

www.tezaurliturgic.ro



Δόξα β΄.

Τῆς συμπαθείας τήν στηλην καί σκεῦος εὔχρηστον τῶν χαρισμάτων τοῦ Πνεύματος, ἐν εὐφροσύνη ἐπαινοῦντες, βοήσωμεν αὐτῷ . Θεοφόρε ἀξιύμνυτε καί πaναρετε πρεσβύτα, ὡς τό πάλαι θεῖον καί πρεσβεύων διετέλης ἀνυστάκτως, οὕτω καί νῦν μή παύσῃ ἐξευμενίζων τό θεῖον, ὑπέρ λαοῦ ἀχαρίστου καί ἀπιστοῦντος, Πολλή σου ἡ παρρησία καί μείζων ἡ συμπάθεια δι'ἧς θεοφόρος ἀνεδείχθης, καί πρεσβευτής τῶν ὑμνοῦντων σε.

Καί νῦν. Δέσποινα προσδεξαι.

Νῦν ἀπολύεις. Τρισάγιον.

ΑΠΟΛΥΤΙΚΙΟΝ Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Ἀσκήσει τῷ βίω σου καί ἱερά προσευχῇ, πτωχεία πραοτητι καί ταπεινώσει πολλῇ διήνυσας ὅσιε. Ὅθεν ἱερωσύνης σύ κανών ἀνεδείχθης, θεΐοις κεκοσμημένος ἀρετάς καί θαυμάτων ὄργανον μάκαρ ἐγένου, πατερ Νικόλαε. / Δίς /

Καί τό Θεοτόκε Παρθένε.

---

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν Ιην Στιχολογίαν

ΚΑΘΙΣΜΑ Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ποταμός ἀναδειχθείς πολλῶν θαυμάτων τούς πιστούς. Ἐθεράπευσες λαλῶν καί τοῖς ζητοῦσι τά μακρὰν. Καί ἐν ἀέρι περιπατῶν ἐθεάθης, γέρων κεκμηκώς καί μή ἰσχύων ποσί, ἔφθανες σπουδῇ τούς πρό σοῦ φοιτητάς. Διό καί νῦν τοῖς πίστει σέ τιμῶσι, τήν σήν συμπάθειαν δώρησε, Πάτερ θεόφρων. σοφέ πρεσβῦτα, μάκαρ Νικόλαε.

Δόξα. Τό αὐτό.- Καί νῦν, Τῆς Θεοτόκου.

" Ταχύ προκατάλαβε "

Ὑπάκουσον Δέσποινα ἐκ κατωδυνου ψυχῆς, βοῶντος τοῦ δούλου σου καί

www.tezaurliturgic.ro



τῶν πολλῶν μου κακῶν, παράσχου τήν αφεσιν. Σέ γάρ ἔχω Προστάτην ἐν νυκτί καί ἡμέρα, λύτρωσε Θεοτόκε, τοῦ Πυρός τῆς Γεέννης, καί στῆσον ἐκ δεξιῶν με, τοῦ Σοῦ Υἱοῦ καί Θεοῦ.-

Μετά τήν 2αν Στιχολογίαν

ΚΑΘΙΣΜΑ Ἦχος γ΄. Τήν ὡραιότητα τῆς Παρθενίας Σου.

Ἁπλοῦς καί ἄκακος, πρᾶος καί μέτριος, γλυκύς καί δίκαιος τόν τρόπον ἔφερες, τούς πλανωμένους τῷ Χριστῷ τῇ Χάριτι τοῦ Βίου σου. Πάντας γάρ ἐφήλκυσας τῇ στοργῇ καί ἀγάπῃ σου καί Βελίαρ ἤσχυνας τῇ πολλῇ ταπεινώσει σου, διό καί σύν δικαίοις ἀγάλλῃ, κατατρυφῶν τῶν καμάτων σου.

Δ ό ξ α. Τό αὐτό.- Κ α ί ν ῦ ν . Τῆς Θεοτόκου.

Ἱερομακάριστε Πάτερ Ἀνύμφευτε, τήν ἀσθενοῦσα μου ψυχήν θεράπευσον, ὅτι συνέχομαι δεινῶς, τοῖς πταίσμασιν ὁ ἄθλιος. Ὅθεν καί κραυγάζω σοι στεναγμῷ τῆς καρδίας μου. Δέξαι με Πανάμωμε, τόν πολλά πλημμελήσαντα, ἵνα ἐν παρρησίᾳ βοῶσοι " Χαῖρε ἡ Κεχαριτωμένη"

---

Μετά τόν Πολυέλαιον

ΚΑΘΙΣΜΑ Ἦχος πλ. δ΄ Τήν σοφίαν καί Λόγον.

Ἐγκρατείᾳ καί κόποις σωματικοῖς, ἐν πτωχείᾳ καί γνώσει πνευματικῇ, ἅπαντα τόν δίαυλον τῆς ζωῆς σου διήνυσας , καί πτωχοῖς ἐπήρκεσας μοιράζων πραότητα, καί σκληρῶν ἐβάστασας τούς λόγους καί σκώμματα ὅθεν ἐδοξάσθης ἰαμάτων τήν Χάριν, πλουσίως τιμήσαντος τοῦ Θεοῦ σε μακάριε Θεοφόρε Ν ι κ ό λ α ε. Αἴτησαι σόν Χριστόν εὐμενῶς τῶν πταισμάτων δοῦναι ἡμῖν ἄφεσιν , τοῖ τιμῶσι ἐκ πόθου τήν θείαν σου κοίμησιν.

Δ ό ξ α. Τό αὐτό.Κ α ί ν ῦ ν. Θεοτοκίον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρων σοι Δέσποινα, ὑπέρ πασῶν τῶν χαρίτων σου σύ γάρ ὤφθης σκέπη , ὁμοῦ καί βοήθεια πειρασμῶν καί θλίψεων, ἀεί με ἐξαίρουσα. Ὅθεν ὡς ἐκ μέσου φλογιζούσης καμίνου, ρυσθείς τῶν θλιβόντων με, ἐκ καρδίας

www.tezaurliturgic.ro



κραυγάζω σοι Θεοτόκε βοήθη μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καί Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθεῖναι μοι· σέ γάρ ἔχω ἐλπίδας ὁ δοῦλος σου.

---

ΑΝΑΒΑΘΜΟΙ

Τό πρῶτον ἀντίφωνον τοῦ δ΄ἤχου. Πᾶσα πνοή. Ὁ Ν΄ψαλμός.

Δόξα Ταῖς τοῦ σοῦ Ὁσίου, Καί νῦν Ταῖς τῆς Θεοτόκου.

Ἐλεησόν με ὁ Θεός. Ἰδιόμελον Ἦχος β΄.

Χρεωστικῶς σέ τιμῶμεν ἱερωσύνης τό κλέος καί Χριστόν δοξολογοῦμεν τόν τιμήσαντά σε ἀξίως πατήρ ἡμῶν Νικόλαε. Μακάριος εἰ τῷ Κυρίῳ δουλεύσας καί κόσμου ἀρνηθείς τήν ἀπάτην. Νῦν δέ συνδιαιωνίζει ἐν τῇ τῶν πραέων γῇ καί σύν ἀγγέλοις δοξάζεις Τριάδα ὁμοούσιον.

---

ΚΑΝΩΝ Ἦχος β΄.

Ὠδή α΄. " Ἐν Βυθῷ κατέστρωσε ποτέ ".- Ἔχων ἀκροστιχίδα: ΤΟΝ ΑΠΛΟΥΝ ΝΙΚΟΛΑΟΝ ΑΠΛΩΣ ΠΡΟΣΑΔΩ ΙΩΣΗΦ.

Τήν σεπτήν σου μνήμην εὐθαρσῶς, πάτερ ἀπετόλμησα, ἐν ἐγκωμίοις, ὑμνῆσαι καί δέομαι. Τοῦ νοός μου τήν κώρωσιν, διαλῦσαι καί φωτῆσαι με, ὅπως περιγράψω ἅπασα, σοῦ βίου τήν λαμπρότητα.

Ὁμιλῶν Θεῷ διηνεκῶς, πᾶσαν ἀπεσίγησας τῆς κοσμικῆς ματαιότητος σύγχυσιν, φωτισθείς τῷ Πνεύματι ταῖς ἐκεῖθεν ἐλλάμψεσι πᾶσι τά μακράν ἐκήρυξας ἔγγιστα, πάτερ ἱερώτατε Νικόλαε.

Νικολάῳ τῷ πανευκλεῆ τῷ ἁπλῷ καί ἔμφρονι καί Ἐκκλησίας ἀξίως θεράποντι τήν φωσφόρον κοίμησιν τῶν πιστῶν τά συστήματα συνελθόντα σήμερον ἐν ἀγαλλιάσει ὕμνοις ἐγκωμίων μακαρίσωμεν.

Ἀρετῶν παντοίων γεγονώς, σκεῦος ἱερώτατον καί Παναγίου Πνεύματος ὄργανο. Τήν ψυχήν μου θεόληπτε τῶν παθῶν καθάρισον καί τῶν πειρασμῶν τόν κλύδωνα παμμάκαρ ἐξαφάνισον.

Θεοτόκιον

Παναγία Δέσποινα Ἁγνή, τήν ψυχήν μου πάθεσι, κεκακωμένην θεράπευσον

www.tezaurliturgic.ro



δέομαι καί τοῦ νοός τήν πώρωσιν τῷ ἰσσώπῳ τῆς θείας πρεσβείας σου. καί ἐν ὥρᾳ κρίσσεως ἐκ χειρῶν τῶν δαιμόνων με ἐξάρπασον.

'Ωδή γ΄. Στερέωσον ἡμᾶς ἐν σοί Κύριε.

Λειτουργός τοῦ Κυρίου θεόληπτος, ἀνεδείχθεης Νικόλαε Ὅσιε, καί ταπεινός τῷ πνεύματι συγχωρῶν τούς πειράζειν πάτερ σε θέλοντα.

Ὁλοτρόπω σπουδῇ ἠκολουθήσας τῶν ὁσίων πατέρων τά δόγματα, καί τήν ζωήν ἐρρύθμησας τάς ἐκείνων πανσόφοις διδάγμασι.

Ὑπέρ φύσιν θαυμάσια ἔπραξας τοῦ Θεοῦ σε ἀξίως δοξάσαντος καί τοῖς χοροῖς ὁμόσκηνον τῶν ὁσίων πατέρων ἐντάξαντος.

Θεοτόκιον

Νεουργεῖται ἡ σύμπασα Ἄχραντε, τῷ ἀφθάστῳ σου τόκῳ καί ἥνωνται, τάἐπί γῆς καί ἔνυλα ταῖς αὔλοις καί θείαις δυνάμεσι.

Κάθισμα

Ἦχος γ΄. " Τήν ὡραιότητα τῆς Παρθενίας σου "

Μάκαρ Νικόλαε πιστῶς τιμῶμεν σου, τήν θείαν κοίμησιν καί τά θαυμάσια καί τήν ὁσίαν σου ζωήν θαυμάζοντες ὑμνοῦμεν σε. Μέμνησο οὖν Ὅσιε τῶν σῶν τέκνων ὡς πάντοτε, πατρικῶς προΐστασο, καί τά σκάνδαλα πράϋνον, δύνασαι γάρ πάτερ πρεσβεύειν ὡς παρρησίαν ἔχων πρός Κύριον.

Καί τῆς Θεοτόκου. " Τήν ὡραιότητα".-

'Ωδή δ΄.

" Εἰσακήκοα Κύριε τήν ἀκοήν τῆς Σῆς οἰκονομίας".

Νουνεχῶς ἀξιάγαστε, τά κατά σέ σοφῶς οἰκονομήσατο, καί Χριστῷ ὁλοψύχως ἠκολούθησας.

Ἱερούργης ἀκούραστα, ἀγρυπνῶν καί εὐχόμενος ὑπέρ τῶν φίλων σου, ὅτι πάντες φιλῶν διετέλεσας.

Κατ'ἀξίαν τῶν κόπων σου, ὁ Θεος σέ πλουσίως ἀντήμοιψε τρισμάκαρ καί

www.tezaurliturgic.ro



ἡμεῖς ὁμοφώνως σέ δοξάζομεν.

Θεοτόκιον

Οὐρανῶν Πλατυτέρα, καί πάντων ποιημάτων Ὑπερτέρα Θεοτόκε, εὐγνωμόνως πάντας σέ μακαρίζομεν.

Ὠδή ε΄.

" Ὁ τοῦ Φωτός χορηγός "

Λαόν πολύν τῷ Θεῷ , τῇ πολιτείαις σου μάκαρ ὁδήγησας, παρακαλῶν τούς θλίψεσι προσπαλαίοντας διό σε νῦν πάτερ μακαρίζομεν.

Ἁπλοῦς καί πρᾶος, καί φιλήσυχος τοῖς τρόποις ἐγένου, ἐμμελετῶν τοῦ Κυρίου τῷ φόβῳ, διά παντός, νυσταγμῷ ἀμελείας οὐδόλως ᾐχμαλώτησαι.

Τῶν Πατέρων Θεός, διά σοῦ πάτερ ηὐλόγηται παντοτε, ἐν ταῖς πανύχεις καί θερμαῖς σου δεήσεσι, ἅς ἐτέλης ὁλοψύχως Αὐτῷ παριστάμενος.

Θεοτόκιον

Νέον ὡς βρέφος ἡμῖν, τόν προαιώνιον Υἱόν τέτοκας Θελητικῶς δυσίν ἐνεργείαις, ὑπάρχοντα διπλοῦν, ὡς ἄνθρωπον ἅμα, Θεον τε Πανάμωμα.

Ὠδή στ΄.

" Ἐν ἀβύσσῳ πταισμάτων".

Ἀπαθεία τῷ νοῦ σου Νικόλαε, ἐνεργεία τοῦ Πνεύματος ὅλως ἀνύψωσας, καί θεοφόρος γέγονας, τά ἀπόν ὡς παρόντα θεόμενος.

Πειρασμούς οὕς ὁ δαίμων διήγηρε, τοῦ σαλεῦσει τόν πῦργον τῆς καρτερίας σου, ὑπομονῇ σου ἔλυες, καί πολλῇ ταπεινώσει μακάριε.

Λιμήν πάντων Νικόλαε πέφυκας, τῶν χειμαζομένων κινδύνοις καί θλίψεσι πάντοτε, τῷ γαληνῷ τοῦ τρόπου σου, τούς ἀπόντας ἐγγύτατα ἔφερας.

Ὡραΐζεις τά πάντα τῷ Τόκῳ σου, καί φωτίζεις τούς πόθῳ αἰτοῦντας σου, τήν συμμαχίαν Δέσποινα ἐν καιρῷ πειρασμῶν καί κακκώσεων.

ΚΟΝΤΑΚΙΟΝ

Ἦχος α΄. " Ἡ Παρθένος σήμερον".

Ταπεινός τῷ πνεύματι, καί καθαρός τῇ καρδίᾳ, φωτεινός τόν βίον σου

www.tezaurliturgic.ro



και απαθής αλήθεια, άπαντα καταγλαΐζεις τῆ καρδία ταῖς άρεταῖς σου, χάριτος τοῖς προσιοῦσι σοι διαμένεις, καί ἰᾶσαι τούς άιτοῦντας τήν σήν πρεσβεῖαν. Πάτερ Νικόλαε.

Ὁ Οἶκος

Πρός τινα ἐπιβλέπω τοῦ Κυρίου καλοῦντος ε'ιμί τῶ πράω καί ἁπλῶ τῆ καρδία καί φυλάττομεί μου τούς λόγους ὡς τῶ ὄντι ἀνεδείχθη ὁ περί οὗ ὁ λόγος Νικόλαος ὁ θεόφρων, καί ἱερεύς τοῦ Ὑψίστου ἀντάξιος, ὁ τόν μάταιον κόσμον πανσόφως χλευάσας ὡς μωρός σχηματισθείς τῶ τρόπω, ἐσοφίσθης τοῦ Κυρίου τῆ χάριτι καίπολλήν ἔχων νῦν παρρησίαν ἴασαι μάκαρ δεόμεθα, τούς α'ιτοῦντα τήν σήν πρεσβείαν Πάτερ Νικόλαε.

19 φεβρουαρίου Τῆ αὐτῆ ἡμέρα ἡ μακαρία κοίμησις τοῦ Ὁσίου κάι θεοφόρου πατρός ἡμῶν καί πρεσβυτέρου "Νικολάου τοῦ Πλανά".

Ἁπλοῦς τόν τρόπον καί πραῦς τῆ καρδία
γῆς πραέων κληρονόμος ἐγένου.

Ὠδή ζ'. " Εἰκόνος χρυσῆς."

Σημείωνπολλῶν, ὁ Δεσπότης σε Χριστός πηγήν δεικνύει, τῆς Ἐκκλησίας τήν εὐπρέπειαν, καί τῶν πιστῶν παρηγορία, θεοφόρε πάτερ Νικόλαε, διό Κυρίω ἔψαλλες, εὐλογητός ει ὁ θεός ὁ τῶν πατέρων ἡμῶν.

Πεινῶν καί διψῶν, τοῦ Κυρίου ἐντολάς μάκαρ διῆγες, ἐν ἐρημίαις προσευχόμενος, καί λειτουργῶν τῶ Δεσπότη, τούς πιστούς δέ ἡγίαζας ἐξιλάσκων τά πταίσματα, τῶν μετά ποθου ὑμνούντων τόν τῶν πατέρων θεόν.

Λεόντων φορᾶς, ἀποστῆσας σου τόν νοῦν πάτερ θεόφρων, τῶν α'ιωνίων ἐπεποθησας, σκηνωμάτων, μεταστῆσας τήν διάνοιαν. Μέσον δέ τοῦ κόσμου διάγων ἀπερίσπαστος ἔψαλλες, εὐλογητός ε'ι Κύριε ὁ θεός ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτόκιον

Ὁρμαῖς τῶν παθῶν, καί δαιμόνων προσβολαῖς κατακεντοῦμαι, ἡ σωματώσασα τόν Δεσπότην, καί κριτήν Θεοτόκε. Ἐξάρπασόν με τῶν δεινῶν μου

www.tezaurliturgic.ro



βοῶσι καί βοήθη μοι, ὅπως ὑμνῶ τόν Τόκον σου καί εὐλογῶ σε Παναγία μου.

'Ω δ ή η΄

" Τόν ἐν καμίνω τοῦ πυρός"

Σάρκα νεκρώσεως καί τόν νοῦν, ταῖς αὔλοις ἀστραπαῖς καταλαμπρύνας, θεοφόρος ἐγένου καταστολήσας σαυτόν ἀρεταῖς τῶν ὁσίων τά θεῖα σκηνώματα εἴληφας ὡς κλῆρον εἰς πάντας τούς αἰῶνας.

'Ακτήμων πρᾶος καί γλυκύς , καί εὐχόμενος Κυρίω διετέλης, φῶς σε περιβάλλον τήν ἔσωθέν χάριν ἥν ὡς στολήν ἐνεδύσω τούς πιστούς καταπλήτων Νικόλαε ἐτέλης.

Δείπνου μετέσχες μυστικοῦ, καθ'ἑκάστην τῶ Κυρίω προσεδρεύων, ἀγγέλους ἔσχες ὑποβαστάζοντας σε κεκμηκότα , καί ὑετῶν τούς ὄμβρους ἀπέφυγες , καί τῶν σῶν θαυμάτων ἐνέπλησας τούς πάντας.

Θ ε ο τ ό κ ι ο ν

'Ορμές ποικίλων μη παθῶν, οἱ δεινοί περιστοιχοῦσι τήν ψυχήν μου, ἐξ ὧν μόνον τῆς πονηρίας Θεογεννήτωρ ἡ ἐλπίς μου, ὑμνοῦντα δέ μοι παράσχου, τόν τῶν πατέρων Κύριον καί Θεόν εἰς τούς αἰῶνας.

'Ω δ ή θ΄

" Τήν ἐκ Θεοῦ Θεόν Λόγον "

'Ιδεῖν τήν δόξαν Κυρίου, τούς τιμόντας σε δίδου, μάκαρ Νικόλαε, πιστούς, καί ταῖς εὐχές σου παράσχου ἡμῖν, πειρασμῶν λυτρωθεῖναι, καί νόσων καί δεινῶν ἀπαλλαγήν καί γνησίως τήν πίστην, ὀρθόδοξον τηρήσωμεν.

Ὢ πῶς φοβῆ τοῦ Κυρίου, φανεροῦν πᾶσαν πρᾶξιν τό βῆμα τό ἔκαστον ἐμέ, ἔργοις δεινοῖς ἐκτραπείς, κατεμόλυνα, τήν ψυχήν καί τό σῶμα ταῖς σαῖς πρεσβείαις Πάτερ τῆς ἐκεῖ κατεσχύνης βεβαίας, ἐξάρπασον τόν δείλαιον.

www.tezaurliturgic.ro



Σταυρῷ Κρατήσας διῆλθες, σοῦ τόν βίον τρισμάκαρ, ὥς μέγας Κυρίου ἀθλητής, κόσμον καί σάρκα νεκρώσας, Χριστῷ καί τήν ἔφεσιν πᾶσα. Τελείως ἀναφέρει τῷ Θεῷ τήν ψυχήν σου ἐτίθης, στηρίζων τούς πλησίον σου.

Ἡλιακῶν λαμπιδόνων, σοῦ ὁ βίος ἀστράψας , πατερ Νικόλαε αὐγές, τήν Ἐκκλησίαν αὐγάζεις Χριστῷ, ταῖς εὐχές σου ἑλκύων καί στηρίζων τούς ποθω τήν μνημην σου τελούντων πιστῶς μιμουμένων τήν θείαν πολιτεία σου.-

Θ ε ο τ ό κ ι ο ν

Φεῖσαι μου Κύριε φεῖσαι, ὅταν μέλλεις με κρῖναι, καί μή καταδικάσης με εἰς πῦρ, μή τῷ θυμῷ σου ἐλέγξης, δυσωπεῖ σε Παρθένος, ἡ δέ κυοφορήσασα Χριστέ, τῶν Ἀγγέλων τό πλήθη, καί τῶν Μαρτύρων ὁ σύλλογος.

------------

Καταβασίαι καί ἡ Τιμιωτέρα.

Ε Ξ Α Π Ο Σ Τ Ε Ι Λ Α Ρ Ι Ο Ν

" Γυναῖκες ἀκουτίσθητε"

Χριστοῦ θεράπων γνήσιε, πρεσβύτερε Νικόλαε. Τήν Ἐκκλησίαν φαιδρύνεις τῷ ὑπερ φύσιν σου βίω ἁπλοῦς πραΰς καί ἥσυχος , εἰρήνης προϊστάμενος, πολλούς προῆγες Κυρίω τῇ φιλοστόργω σου γνώμη.

Τῆς Θεοτόκου

Πανύμωμε Παντάνασσα, Κυρία μου καί Δέσποινα, τήν βαρυνθεῖσαν τῷ φόρτω παθῶν ἀθλία ψυχήν μου, πρόφθασον τῇ πρεσβεῖᾳ σου καί κούφισον τοῦ βάρους με, καί ἐλαφρον τοῦ Υἱοῦ σου, ζυγόν ἐπίθες μοι Κόρη.

Α Ι Ν Ο Ι   Ἱστῶμεν στιχ. δ΄καί

Ψάλλομεν Στιχηρά προσόμοια γ΄ δευτεροῦντες τό πρῶτον.

Ἦχος β΄ "Ποῖος εὐφημιῶν ἄσμασι ".

Ποῖοις οἱ εὐτελοῖς χείλεσιν, μακαρίσωμέν σε θεοφόρε, τόν σαρκί ἐν κόσμω διάγοντα καί σαρκός μηδέν προνοούμενον, πρός Κύριον θερμῇ σου

www.tezaurliturgic.ro



πίστη. Τούς πάντας περιποιούμενος ἔφθανες, καί πάντων τῆς συμπαθείας σου μετεδίδες, τήν τοῦ Κυρίου ἀγάπην ὡς θεμέλιον θεθείς τήν ὑπερβάλλουσα σύντρυφήν, Χριστός σοι δεδώρηται ὁ ἔχων τό μέγα ἔλεος.

Πρᾶος καί ταπεινός τῷ πνεύματι, μέτριος καί ὅσιος ἐδείχθης, ἀρετῶν τόν πλοῦτον ἀπέστησας, καί πτωχός τῷ κόσμῳ ἐχρημάτισας πᾶσι δαψιλῶς διασκορπίζων, διδάσκων τῆς ἀκτησίας τήν ὠφέλειαν λυτρώνων πλεονεξίας τούς ἀκούοντας, ἀγάπης στήλην τόν βίον, τοῖς πιστοῖς ἀπέδειξας, Καί ἀγάλλει νῦν τῷ Χριστῷ, ἡμῶν εὐχόμενοι εἰρήνην καί μέγα ἔλεος.

Πάτερ Θεοφόρε Νικόλαε ἱερωσύνην κοσμήσας, τήν ἀποκειμένην ἀπήλειψας, τῶν δικαίων δόξα καί λαμπρότητα, ἥν δωρεῖται πᾶσιν ὁ Δεσπότης, ἰάσεις, τοῖς ἀσθενοῦσι ἐβραύβευσας, προβλέπων τῶν ἐσομένων τήν ἔκβασιν, θείου πνεύματος δοχεῖον ἀρετῶν ἀνάπλεον διό εὐχές σου Χριστός, δωρεῖται πᾶσιν ἡμῖν τό μέγα ἔλεος.

Δόξα πλ. δ΄

Εὖ δοῦλε ἀγαθέ καί πιστέ, εὖ ἐργάτα τοῦ εὐαγγελίου προθυμότατε, τῆς γάρ Μαρίας τήν μερίδα ἐξελέξω, ἐκ νεαρᾶς σου ἡλικίας. Το~υ τοῦ Κυρίου τήν ἀγάπην προτιμήσας, παντός δεσμοῦ ἀπέστης καί αὐτοῦ τῷ πόθῳ καί τῷ φόβῳ προσήλωσαι. Διό σε ὁ πλουσιόδωρος ἀντίμηψε, δωρεῶν παντείων κατάστολήσας σου τήν ψυχήν, καί ραθύμων ἤλεγξας τήν μικροψυχίαν. Σημεῖον μέγα ἀνεδείχθης, ἐν καιροῖς ἐσχάτοις, τοῖς ἀπιθοῦσι τῆς συμμαχία τῆς χαριτος. Χθές γάρ καί σήμερον βοᾷ σου ἡ πολιτεῖα, δεκτός παρά Κυρίῳ, πᾶς ὁ βουλόμενος σωθῆναι. Ἀλλά ταῖς εὐχές σου πάτερ ἱλαρώτατε ἕλκυσον ἡμᾶς πρός μετάνοιαν, είς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. "Δέσποινα πρόσδεξαι".

Δοξολογια Μεγάλη καί ἀπόλυσις

-------------